Δη. Κατάθου ταχέως τὸ στέφανον, ἵν' ἐγὼ τουτῳὶ
Αὐτὸν περιθῶ. Αλλ. κατάθου ταχέως μαστιγία.
Κλ. Οὐ δῆτ', ἐπεί μοι χρησμὸς ἔστι Πυθικὸς,
Φράζων ὑφ' οὗ δεῖ μ' ἡττᾶσθαι μόνου.
Αλλ. Τοὐμόν γε φράζων ὄνομα καὶ λίαν σαφῶς.
Κλ. Καὶ μὴν σ' ἐλέγξαι βούλομαι τεκμηρίῳ,
Εἴ τι ξυνοίσεις τοῦ θεοῦ τοῖς θεσφάτοις.
Καί σου τοσοῦτο πρῶτον ἐκπειράσομαι.
Παῖς ὢν, ἐφοίτας ἐς τίνος διδασκάλου;
Αλλ. Ἐν ταῖσιν εὕστραις κονδύλοις ἡρμοττόμην.
Κλ. Πῶς εἶπας; ὥς μου χρησμὸς ἅπτεται φρενῶν.
Εἶεν.
Ἐν παιδοτρίβου δὲ τίνα πάλην ἐμάνθανες;
Αλλ. Κλέπτειν, ἐπιορκεῖν καὶ βλέπειν ἐναντίον.
Κλ. Ὦ Φοῖβ' Ἄπολλον, Λύκιε, τί ποτέ μ' ἐργάσῃ;
Τέχνην δὲ τίνα ποτ' εἶχες ἐξανδρούμενος;
Αλλ. Ἠλλαντοπώλουν. Κλ. καὶ τί. Αλλ. καὶ βινεσκόμην.
Κλ. Οἴμοι κακοδαίμων. οὐκέτ' οὐδέν εἰμ' ἐγώ.
Λεπτή τις ἐλπίς ἐστ' ἐφ' ἧς ὀχούμεθα.
Καί μοι τοσοῦτον εἰπὲ. πότερον ἐν ἀγορᾷ
Ἠλλαντοπώλεις ἐτεὸν, ἢ 'πὶ ταῖς πύλαις;
Αλλ. Ἐπὶ ταῖς πυλαισιν οὗ τὸ τάριχος ὤνιον.
Κλ. Οἴμοι. πέπρακται τοῦ θεοῦ τὸ θέσφατον.
Κυλίνδετ' εἴσω τόνδε τὸν δυσδαίμονα.
Ὦ στέφανε. χαίρων ἄπιθι. κεἴ σ' ἄκων ἐγὼ
Λείπω. σὲ δ' ἄλλος τις λαβὼν, κεκτήσεται.
Κλέπτης μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.
Αλλ. Ἑλλάνιε Ζεῦ. σὸν τὸ νικητήριον.

A PO. *Depone iam coronam ilicet, vt huic eam*
*Imponam.* AG. *age depone coronam citò verbero.*
CL. *Minimè. quia mihi Pythicum est oraculum,*
*Quod dicit à quo vno vinci me oporteat.*
AG. *Nempe meum satis apertè nomen exprimit.*
CL. *Ego manifesto indicio te conuincere*
*Volo, si quid responsis Dei consenties.*
*Iamque adeò hoc primum ex te percontari volo,*
*Puer cùm esses, quonam præceptore vsus es?*
AG. *Ego pugnis in culinis aptabar probè.*
CL. *Quomodo dixisti? vt animum perculit modò hoc*
*Oraculum, age in ludo quam luctam didiceras?*
AG. *Furari, peierare, aduersum tuerier.*
C CL. *O Phœbe Apollo, Lycie. quo afficiar malo?*
*Sed artem quam tu exercuisti, iam adultior?*
AG. *Farcimina vendebam.* CL. *quid dein?* AG. *scortis item*
*Accumbebam.* CL. *hei mihi: nullus sum posthac ego:*
*Spes exigua superest mihi, qua suffulciar.*
*Etiam hoc dicas mihi, reuera ne vendere*
*Solebas in foro, an in Pylo, farcimina?*
D AG. *Immò in Pylo, vbi venalia salsamenta sunt.*
CL. *Hei mihi: verè completum est Phœbi oraculum.*
*Volutate intrò isthunc infelicem. Vale*
*Corona, & abi, ego quidem inuitus te desero:*
*Alius verò in potestate te habebit sua:*
*Si non maior fur, forsitan felicior.*
E AG. *Tuum hoc est præmium victoriæ Iuppiter.*

Σχόλια. Εἴ τι ξυνοίσεις.] εἰ συμφωνήσεις. εἰ μεθέξῃ. Εὕστραις.] ἀντὶ τοῦ φλογίστραις, ὅπου τὰ ἱερὰ θύεται. λέγει δὲ, ὡς μάγειρος. ἄλλως. ἐν τοῖς μαγειρείοις. εὕστρα γὰρ τὸ μαδιστήριον. ἀπὸ τοῦ εὕειν, καὶ φλογίζειν τοὺς χοίρους. τὸ δὲ ἡρμοττόμην, ὡς πρὸς μουσικὴν, ἀντὶ τοῦ ἐπαιδευόμην. ἄλλως. εὕστρα, ἡ ὀρεινὴ κριθή, εἴρηται δὲ καὶ ἀμφίκαυτις παρὰ κωμικοῖς καὶ τραγικοῖς ἀπὸ τοῦ περικεκαῦσθαι. οἱ δὲ, τὴν πρώτην ἔκφυσιν τῶν πυρῶν, ἣν λήϊον προσαγορεύουσιν ὡραῖον, διὰ τὸ τοὺς πρωΐμους καέντων τῶν ἀχύρων, ἐπιτηδείους εἶναι εἰς τροφήν. Ὦ Φοῖβ' Ἄπολλον.] ὁ στίχος ἐκ Τηλέφου Εὐριπίδου. Ὤνιον.] εὔωνον. ὅπου τὸ ταριχοπωλεῖον, ἀντὶ ὅπου τὰ εὐτελῆ πωλεῖται. Κυλίνδετ' εἴσω.] ἑαυτὸν λέγει ὁ Κλέων. ταῦτα δὲ, ἐκ Βελλεροφόντου Εὐριπίδου. τὸ δὲ κυλίνδετ' ἀντὶ τοῦ κομίζετε. Σὲ δ' ἄλλος τις.] λείπει ἀνήρ. παρῴδησε δὲ τὰ ἐξ Ἀλκήστιδος Εὐριπίδου. ἔχει δὲ οὕτω.

σὲ δ' ἄλλη τις γυνὴ κεκτήσεται.
Σώφρων μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.

F Ἑλλάνιε Ζεῦ.] Ἑλλάνιος Ζεὺς ἀπὸ τοῦ ἐν Αἰγίνῃ αὐχμοῦ ποτὲ γενομένου. ὅτε Αἰακὸς συναγαγὼν τοὺς Πανέλληνας ἐξιλεώσατο τὸν Δία. τοῦτο δὲ λέγει ὁ ἀλλαντοπώλης, εἰληφὼς τὸν στέφανον. Ἑλλάνιος δὲ Ζεὺς τιμᾶται ἐν Αἰγίνῃ.

---

BISETVS. Κλέων ἀρχῆς, καὶ πάσης τιμῆς στερηθεὶς τὴν ἑαυτοῦ τύχην ἀποκλαίει· ὁ δὲ χορὸς τῷ Ἀγορακρίτῳ συνήδεται, ὅτι ὁ δῆμος ἑαυτὸν, καὶ πάντα τὰ τῆς πόλεως πράγματα τῷ αὐτῷ ἐπιτρέπει, καὶ συνιστάνει.

Χο. Ὦ Χαῖρε καλλίνικε. καὶ μέμνησ' ὅτι
Ἀνὴρ γεγένησαι διʼ ἐμέ. καί σ' αἰτῶ βραχὺ,
Ὅπως γένωμαί σοι Φανὸς ὑπογραφεὺς δικῶν.
Δη. Ἐμοὶ δέ γ' ὅ τι σοι τοὔνομ' εἰπέ. Αλ. Ἀγοράκριτος.
Ἐν τῇ ἀγορᾷ γὰρ κρινόμενος ἐβοσκόμην.

CH. *O Salue victor, & memento, quòd mea*
G *Causa in virum hunc euaseris: modicum hoc peto:*
*Vt scriba iudiciorum Phanus sim tibi.*
PO. *Nomen tuum quod sit, mihi dic.* AG. *Agoracritus.*
*Quoniam in foro nutritus sum pro iudice.*